UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Paulo. 212.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

in æs incidere, vt perpetuò firma & immota conſeruetur. Quòd ſi is, quem tu à te diſſidere ais, contrà facit, hoc animum tuum minimè conturbet, tanquam proinde in corona detrimentum accepturum. Neque enim, ne odio ſimus (hoc quippe noſtri arbitrij haud eſt, ac fortaſſe ne fieri quidem poteſt, omni enim modo præſtantiſſimi quique viri improbis inuiſi ſunt: ac propterea ſancti viri huiuſmodi odium ſubierunt) ſed, ne homines, verùm improbitatem, qua laborant, odio habeamus, nobis imperatum eſt.

Paulo. 212.

Homines plerumque opum atque imperij cauſa, & quia his rebus nemini cedere ſuſtinent, venia omni ac ſupplicio grauiora perpetrant. Nam & cùm ea quærere & adipiſci ſtudent, per innumera mala ea acquirunt: & amittendi metu multò grauiora aggrediuntur. Quoniã enim grauius eſſe cenſent ea amittere, quàm nunquam quæſiiſſe, idcirco grauiora quoque moliũtur. Quapropter vitioſæ affectiones in ipſis præludiis frangendæ ſunt, ne alioqui tandem inſanabili morbo laborare deprehendamur.

Palladio Diacono. 213.

Videtur, vt plurimùm, humana natura in aduerſis quidẽ rebus modeſtiam colere, in ſecundis autem petulantem ſe præbere. Atque hoc ex iis, quæ Hebræis acciderunt, apertiſſimè liquet. Tranſierunt enim mare rubrũ, nec periculi quicquam ſubierunt. Cùm autem in terram venerunt, naufragium fecerunt.

Lampetio Epiſcopo. 214.

Modo diuinitati conſentaneo, & excellenti, atque adeò naturâ præſtantiori mẽtem de diuina eſſentia & authoritate conſiderationem ineuntem, piè ac fructuosè, & quatenus facultas fert, ea, quæ ægrè inueſtigari atque exponi, vel, vt rectiùs

φιλίαν, εἰς χαλκὸν, ἵνα διὰ παντὸς βεβαία καὶ ἀκίνητος διατηρῆται. εἰ δὲ ὃν φῂς πρὸς σὲ διαφέρεσθαι τοὐναντίον ποιεῖ, τοῦτό σε μὴ ταραττέτω, ὡς εἰς τοὺς στεφάνους παραβλαβησόμενον. οὐ γὰρ μὴ μισεῖσθαι. τοῦτο γὰρ οὐκ ἐφ' ἡμῖν. ἴσως δὲ καὶ ἀμίχανον. παντὶ γὰρ τρόπῳ οἱ ἄριστοι παρὰ τῶν φαύλων μισοῦνται. διὸ καὶ οἱ ἅγιοι αὐτὸ ὑπέστησαν. ἀλλὰ μὴ μισεῖν ἀνθρώπους, ἀλλὰ τὴν ἐν αὐτοῖς κακίαν προσετάχθημεν.

Παύλῳ. σιβ.

Συγγνώμης καὶ τιμωρίας μείζονα πολλάκις τολμῶσιν ἄνθρωποι χρημάτων ἕνεκεν καὶ ἀρχῆς, καὶ τοῦ μηδενὶ τούτων παραχωρῆσαι. κτήσασθαι μὲν γὰρ αὐτὰ βουλόμενοι, διὰ μυρίων κακῶν κτῶνται, καὶ φοβούμενοι ἀποβαλεῖν, πολλῷ ἀργαλεωτέροις ἐγχειροῦσι. νομίζοντες γὰρ τὸ ἀποβαλεῖν τοῦ μηδὲ κτήσασθαι δεινότερον εἶναι, χαλεπώτερα μηχανῶνται. χρὴ οὖν ἐν προοιμίοις περιγίνεσθαι τῶν παθῶν, ἵνα μὴ τελευτῶντες ἀνήκεστα νοσοῦντες φωραθῶμεν.

Παλλαδίῳ διακόνῳ. σιγ.

Κινδυνεύει ἡ ἀνθρωπότης, ὡς τὰ πολλὰ, ἐν μὲν δυσημερίᾳ σωφρονεῖν, ἐν δὲ εὐημερίᾳ παροινεῖν. καὶ τοῦτο ἐξ ὧν Ἑβραῖοι πεπόνθασιν ἀριδηλότατα δείκνυται. παρῆλθον μὲν γὰρ τὴν ἐρυθρὰν θάλασσαν, καὶ οὐδὲν κινδυνῶδες ὑπέμειναν. ἐλθόντες δὲ εἰς τὴν γῆν, ἐναυάγησαν.

Λαμπετίῳ ἐπισκόπῳ. σιδ.

Θεοπρεπῶς καὶ μεγαλοφυῶς, μᾶλλον δὲ ὑπερφυῶς χρὴ τὸν νοῦν περὶ τῆς θείας οὐσίας τε καὶ αὐθεντίας λογιζόμενον, εὐσεβῶς καὶ χρησίμως, καὶ ὡς ἐνδέχεται τὰ δυσθήρατα καὶ δύσφραστα, μᾶλλον δὲ ἄφραστα τοῖς ἀκούουσι

διὰ τῆς